# Council of Nicaea Documents (Greek and Latin) – Part 2

**Sources Used**
Excerpts from the *Die Griechischen Christlichlen Schriftsteller* (GCS) and *Athanasius Werke* series are used by permission. Most other texts and translations are in the public domain. Click here for a key to the FCC (fourthcentury.com) translators.

This work is licensed under CC BY-NC-SA 4.0

**Anonymous Church History (pseudo-Gelasius) (CPG 6034)**
Greek text: *Anonyme Kirchengeschichte (Galezius Cyzicenus, CPG 6034)*, ed. Günther Christian Hansen. GCS N.F. 9 (Walter de Gruyter: Berlin, 2002).
English translation by FCC (NJ and RR).

**Athanasius, Letter to the Bishops of Africa (CPG 2133)**
Greek text: *Athanasius Werke*, vol. 2.8, ed. H.C. Brennecke et al. (Berlin, 2000).
English translation by A. Robertson (NPNF$^2$ 4:488-494), updated by FCC (AGC).

**On the Nicene Definition (de Decretis) (CPG 2120)**
Greek text: *Athanasius Werke*, vol. 2.1-2:1-45, ed. H.-G. Opitz (Berlin, 1935).
English translation by J. H. Newman and A. Robertson (NPNF$^2$ 4:149-172), updated by FCC (AGC).

**On the Synods of Ariminum and Seleucia (de Synodis) (CPG 2128)**
Greek text: *Athanasius Werke*, vol. 2.6-7, ed. H.-G. Opitz (Berlin, 1940).
English translation by J. H. Newman and A. Robertson (NPNF$^2$ 4:48-480), updated by FCC (AGC).

**Eusebius of Caesarea, Life of Constantine (CPG 3496)**
Greek text: *Eusebius Werke* 2. Die Kirchengeschichte, ed. E. Schwartz. GCS 9.1 (Leipzig, 1903).
English translation by A.C. McGiffert (NPNF$^2$ 1:73-404), updated by FCC (AGC).

**Gelasius of Caesarea, Ecclesiastical History (CPG 3521)**
Greek Text and English translation: Ecclesiastical History: The Extant Fragments With an Appendix containing the Fragments from Dogmatic Writings. GCS, ed. M. Wallraff, J. Stutz, and N. Marinides. Translated by N. Marinides. (De Gruyter, 2018).

**Jerome, Dialogue Against the Luciferians (CPL 608)**
Latin Text: Patrologia Latina vol. 23, coll. 153-182B. ed. J.P. Migne, (Paris, 1883).
English translation by W.H. Fremantle (NPNF$^2$, 6:319-34), updated by FCC (AGC).

**Philostorgius, Ecclesiastical History (CPG 6032)**
Greek Text: Philostorgius Kirchengeschichte., ed. J. Bidez. GCS 21 (Leipzig, 1913).
English translation by FCC (AGC).

**Rufinus of Aquileia, Ecclesiastical History**
Latin text: *Eusebius Werke* 2.2. Die Kirchengeschichte, ed. E. Schwartz and T. Mommsen (Leipzig, 1908).
English translation by FCC (AGC).

**Socrates, Ecclesiastical History (CPG 6028)**
Greek Text: ed. G.C. Hansen. GCS N.F. 1, Berlin, New York: De Gruyter, 1995.
English translation by A.C. Zenos (NPNF$^2$ 2:1-178).

**Sozomen, Ecclesiastical History (CPG 6030)**
Greek Text: G.C. Hansen, *Sozomenus Kirchengeschichte*, 2nd ed., GCS N.F. 4. (Berlin 1995)
English translation by C. Hartranft (NPNF$^2$ 2:179-427).

**Theodoret, Ecclesiastical History (CPG 6222)**
Greek Text: Theodoret: Kirchengeschichte. ed. Parmentier, Léon, GCS N.F. 5. Berlin, New York: De Gruyter, 1998.
English translation by B. Jackson (NPNF$^2$ 3:33-159).

## 20 May 325 – Council officially begins when Constantine arrives

| **Eusebius** | **Gelasius** | **Socrates** | **Sozomen** | **Theodoret** | **Anonymous Church History** |
|---|---|---|---|---|---|
| 3.10 Ἐπεὶ δ’ ἡμέρας ὁρισθείσης τῇ συνόδῳ, καθ’ ἣν ἐχρῆν λύσιν ἐπιθεῖναι τοῖς ἀμφισβητουμένοις, παρῆν ἑκάτερος ταύτην ἄγων, ἐν αὐτῷ δὴ τῷ μεσαιτάτῳ οἴκῳ τῶν βασιλείων, ὃς δὴ καὶ ὑπερφέρειν ἐδόκει μεγέθει τοὺς πάντας, βάθρων δ’ ἐν τάξει πλειόνων ἐφ’ ἑκατέραις τοῦ οἴκου πλευραῖς διατεθέντων, εἴσω παρῆσαν οἱ κεκλημένοι καὶ τὴν προσήκουσαν ἕδραν οἱ πάντες ἀπελάμβανον. ἀλλ’ ὅτε δὴ σὺν κόσμῳ τῷ πρέποντι ἡ πᾶσα καθῆστο σύνοδος, σιγὴ μὲν τοὺς πάντας εἶχεν προσδοκίᾳ τῆς βασιλέως παρόδου, εἰσῄει δέ τις πρῶτος κἄπειτα δεύτερος καὶ τρίτος τῶν ἀμφὶ βασιλέα. ἡγοῦντο δὲ καὶ ἄλλοι οὐ τῶν συνήθων ὁπλιτῶν τε καὶ δορυφόρων, μόνων δὲ τῶν πιστῶν φίλων. πάντων δ’ ἐξαναστάντων ἐπὶ συνθήματι, ὃ τὴν βασιλέως εἴσοδον ἐδήλου, αὐτὸς δὴ λοιπὸν διέβαινε μέσος οἷα θεοῦ τις οὐράνιος ἄγγελος, λαμπρᾷ μὲν ὥσπερ φωτὸς μαρμαρυγαῖς ἐξαστραπτούσῃ περιβολῇ, ἁλουργίδος πυρωποῖς καταλαμπόμενος ἀκτῖσι, χρυσοῦ τε καὶ λίθων πολυτελῶν διαυγέσι φέγγεσι κοσμούμενος. ταῦτα μὲν οὖν ἀμφὶ τὸ σῶμα. τὴν δὲ ψυχὴν θεοῦ φόβῳ καὶ εὐλαβείᾳ δῆλος ἦν κεκαλλωπισμένος· ὑπέφαινον δὲ καὶ ταῦτ’ ὀφθαλμοὶ κάτω νεύοντες, ἐρύθημα προσώπου, περιπάτου κίνησις, τό τ’ ἄλλο εἶδος, τὸ μέγεθός τε ὑπερβάλλον μὲν τοὺς ἀμφ’ αὐτὸν ἅπαντας <***> τῷ τε κάλλει τῆς ὥρας καὶ τῷ μεγαλοπρεπεῖ τῆς τοῦ σώματος εὐπρεπείας ἀλκῇ τε ῥώμης ἀμάχου, ἃ δὴ τρόπων ἐπιεικείᾳ πραότητί τε βασιλικῆς ἡμερότητος ἐγκεκραμένα τὸ τῆς διανοίας ὑπερφυὲς παντὸς κρεῖττον ἀπέφαινον λόγου. ἐπεὶ δὲ παρελθὼν ἐπὶ τὴν πρώτην τῶν ταγμάτων ἀρχὴν μέσος ἔστη, σμικροῦ τινος αὐτῷ καθίσματος <ἐξ> ὕλης χρυσοῦ πεποιημένου προτεθέντος, οὐ πρότερον ἢ τοὺς ἐπισκόπους ἐπινεῦσαι ἐκάθιζε. ταὐτὸν δ’ ἔπραττον οἱ πάντες μετὰ βασιλέως.<br>3.11 Τῶν δ’ ἐπισκόπων ὁ τοῦ δεξιοῦ τάγματος πρωτεύων διαναστὰς μεμετρημένον ἀπεδίδου λόγον, προσφωνῶν τὸν βασιλέα τῷ τε παντοκράτορι θεῷ χαριστήριον ἐπ’ αὐτῷ ποιούμενος ὕμνον. ἐπειδὴ δὲ καὶ αὐτὸς καθῆστο, σιγὴ μὲν ἐγίγνετο πάντων ἀτενὲς εἰς βασιλέα βλεπόντων, ὁ δὲ φαιδροῖς ὄμμασι τοὺς πάντας γαληνῶς ἐμβλέψας κἄπειτα συναγαγὼν | F11 (p.74)<br>Ἐπιτελέσας δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ Λικιννίου ἑορτήν, ἀπήντα καὶ αὐτὸς εἰς τὴν Νίκαιαν. τῇ δὲ ἑξῆς πάντες ἅμα οἱ ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο, παρῄει δὲ καὶ ὁ βασιλεὺς μετ’ αὐτούς, καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσον ἔστη καὶ οὐ πρότερον καθίζειν ᾑρεῖτο, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν· τοσαύτη τις εὐλάβεια καὶ αἰδὼς τῶν ἀνδρῶν τὸν βασιλέα κατεῖχε. | 1.8.17 Τότε μὲν οὖν οὕτως ὁ ἐκ τῆς διαλεκτικῆς γινόμενος θόρυβος κατεστάλη, τῇ δὲ ἑξῆς πάντες ἅμα οἱ ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο. Παρῄει δὲ καὶ ὁ βασιλεὺς μετ’ αὐτούς, καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσους ἔστη, καὶ οὐ πρότερον καθίζειν ᾑρεῖτο, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν· τοσαύτη τις εὐλάβεια καὶ αἰδῶς τῶν ἀνδρῶν τὸν βασιλέα κατεῖχεν. | 1.19.1b Ἐπεὶ δὲ ἡ κυρία παρῆν, καθ’ ἣν ὥριστο τεμεῖν τὰ ἀμφίβολα, συνῆλθον εἰς τὰ βασίλεια, καθότι καὶ τῷ κρατοῦντι δέδοκτο κοινωνῆσαι αὐτοῖς τῆς βουλῆς. ἐπεὶ δὲ εἰς ταὐτὸ παρεγένετο τοῖς ἱερεῦσι, διαβὰς πρὸς τὴν ἀρχὴν τοῦ συλλόγου ἐπὶ θρόνου τινὸς ἐκάθισεν, ὅσπερ αὐτῷ κατεσκεύαστο· καὶ ἡ σύνοδος καθῆσθαι ἐκελεύσθη.<br>1.19.2 παρεσκεύαστο γὰρ ἑκατέρωθεν βάθρα πολλὰ παρεκτεινόμενα τοῖς τοίχοις τοῦ βασιλείου οἴκου· μέγιστος δὲ ἦν οὗτος καὶ τοὺς ἄλλους ὑπερφέρων. καθεζομένων δὲ αὐτῶν ἀναστὰς Εὐσέβιος ὁ Παμφίλου λόγον τινὰ τῷ βασιλεῖ προσεφώνησε καὶ δι’ | 1.7.7b Συνεληλυθότων δὲ πάντων, οἶκον μέγιστον ἐν τοῖς βασιλείοις ηὐτρέπισεν βασιλεύς, βάθρα καὶ θρόνους ὅτι μάλιστα πλείστους ἐν τούτῳ τεθῆναι κελεύσας τῷ τῶν ἀρχιερέων ἀποχρώντως συλλόγῳ.<br>1.7.8 οὕτω τὸ πρέπον αὐτοῖς εὐτρεπίσας γέρας, εἰσελθεῖν τε ἐπέτρεψε καὶ περὶ τῶν προκειμένων βουλεύσασθαι.<br>1.7.9 εἰσελήλυθε δὲ καὶ αὐτὸς ἔσχατος σὺν ὀλίγοις, ἀξιέπαινον μὲν ἔχων τὸ μέγεθος, ἀξιάγαστον δὲ τὴν ὥραν, θαυμασιωτέραν δὲ τὴν τοῖς μετώποις ἐπικαθημένην αἰδῶ. θρόνου δὲ σμικροῦ τεθέντος ἐν μέσῳ κεκάθικεν, ἐπιτρέψαι τοῦτο τοὺς ἐπισκόπους αἰτήσας· σὺν αὐτῷ δὲ καὶ ἅπας ὁ θεῖος ἐκεῖνος ἐκαθέσθη χορός.<br>1.7.10 παραυτίκα δὲ πρῶτος ὁ μέγας Εὐστάθιος, ὁ τῆς Ἀντιοχέων ἐκκλησίας τὴν προεδρίαν λαχών (Φιλογόνιος γὰρ, οὗ πρόσθεν ἐμνήσθην, εἰς τὸν ἀμείνω μεταβεβήκει βίον, τοῦτον δὲ ἄκοντα ποιμαίνειν ἀντ’ ἐκείνου τὴν ἐκκλησίαν ἐκείνην ψήφῳ κοινῇ κατηνάγκασαν ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ πᾶς ὁ λαὸς ὁ φιλόχριστος), οὗτος τοῖς ἄνθεσι τῶν ἐγκωμίων τὴν | 2.6.1 Ἐπιτελέσας δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ Λικιννίου ἑορτήν, ἀπήντα καὶ αὐτὸς εἰς τὴν Νίκαιαν. τῇ δὲ ἑξῆς πάντες ἅμα οἱ ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο, παρῄει δὲ καὶ ὁ βασιλεὺς μετ’ αὐτούς, καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσον ἔστη καὶ οὐ πρότερον καθίζειν ᾑρεῖτο, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν· τοσαύτη τις εὐλάβεια καὶ αἰδὼς τῶν ἀνδρῶν τὸν βασιλέα κατεῖχε.<br>2.6.2 πρὸς οὓς ὁ βασιλεὺς ὁ πανεύφημος παραινετικὸν καὶ διδασκαλικὸν προσενήνοχε λόγον εἰς ὕμνησιν καὶ δοξολογίαν καὶ εὐχαριστίαν τοῦ τῶν πάντων θεοῦ τοῦ τοσαῦτα αὐτῷ χαρισαμένου, ὧδέ πως λέγων· |

| | | | | | |
|---|---|---|---|---|---|
| αὐτὸς πρὸς ἑαυτὸν τὴν διάνοιαν ἡσύχῳ καὶ πραείᾳ φωνῇ τοῖον ἀπέδωκε λόγον·<br>3.12 “Εὐχῆς μὲν ἐμοὶ τέλος ἦν, ὦ φίλοι, τῆς ὑμετέρας ἀπολαῦσαι χορείας. τούτου δὲ τυχὼν εἰδέναι τῷ βασιλεῖ τῶν ὅλων τὴν χάριν ὁμολογῶ, ὅτι μοι πρὸς τοῖς ἄλλοις ἅπασι καὶ τοῦτο κρεῖττον ἀγαθοῦ παντὸς ἰδεῖν ἐδωρήσατο, φημὶ δὴ τὸ συνηγμένους ὁμοῦ πάντας ἀπολαβεῖν μίαν τε κοινὴν ἁπάντων ὁμόφρονα γνώμην θεάσασθαι. μὴ δὴ οὖν βάσκανός τις ἐχθρὸς τοῖς ἡμετέροις λυμαινέσθω καλοῖς, μηδὲ τῆς τῶν τυράννων θεομαχίας ἐκποδὼν ἀρθείσης θεοῦ σωτῆρος δυνάμει ἑτέρως ὁ φιλοπόνηρος δαίμων τὸν θεῖον νόμον βλασφημίαις περιβαλλέτω· ὡς ἔμοιγε παντὸς πολέμου καὶ μάχης δεινῆς καὶ χαλεπωτέρα ἡ τῆς ἐκκλησίας τοῦ θεοῦ ἐμφύλιος νενόμισται στάσις καὶ μᾶλλον ταῦτα τῶν ἔξωθεν λυπηρὰ καταφαίνεται. ὅτε γοῦν τὰς κατὰ τῶν πολεμίων νίκας νεύματι καὶ συνεργίᾳ τοῦ κρείττονος ἠράμην, οὐδέν γε λείπειν ἐνόμιζον ἢ θεῷ μὲν γινώσκειν τὴν χάριν, συγχαίρειν δὲ καὶ τοῖς ὑπ’ αὐτοῦ δι’ ἡμῶν ἠλευθερωμένοις. ἐπειδὴ δὲ τὴν ὑμετέραν διάστασιν παρ’ ἐλπίδα πᾶσαν ἐπυθόμην, οὐκ ἐν δευτέρῳ τὴν ἀκοὴν ἐθέμην, τυχεῖν δὲ καὶ τοῦτο θεραπείας δι’ ἐμῆς εὐξάμενος ὑπηρεσίας τοὺς πάντας ἀμελλήτως μετεστειλάμην. καὶ χαίρω μὲν ὁρῶν τὴν ὑμετέραν ὁμήγυριν, τότε δὲ μάλιστα κρίνω κατ’ εὐχὰς ἐμαυτὸν πράξειν, ἐπειδὰν ταῖς ψυχαῖς ἀνακραθέντας ἴδοιμι τοὺς πάντας μίαν τε κοινὴν βραβεύουσαν τοῖς πᾶσιν εἰρηνικὴν συμφωνίαν, ἣν καὶ ἑτέροις ὑμᾶς πρέπον ἂν εἴη πρεσβεύειν τοὺς τῷ θεῷ καθιερωμένους. μὴ δὴ οὖν μέλλετε, ὦ φίλοι δὴ λειτουργοὶ θεοῦ καὶ τοῦ κοινοῦ πάντων ἡμῶν δεσπότου τε καὶ σωτῆρος ἀγαθοὶ θεράποντες, τὰ τῆς ἐν ὑμῖν διαστάσεως αἴτια ἐντεῦθεν ἤδη φέρειν εἰς μέσον ἀρξάμενοι, πάντα σύνδεσμον ἀμφιλογίας νόμοις εἰρήνης ἐπιλύσασθαι. οὕτω γὰρ καὶ τῷ ἐπὶ πάντων θεῷ τὰ ἀρεστὰ διαπεπραγμένοι εἴητε ἄν, κἀμοὶ τῷ ὑμετέρῳ συνθεράποντι ὑπερβάλλουσαν δώσετε τὴν χάριν.” | | | αὐτὸν τῷ θεῷ χαριστήριον ὕμνον. | βασιλέως ἐστεφάνωσε κεφαλὴν καὶ τὴν περὶ τὰ θεῖα σπουδὴν εὐλογίαις ἠμείψατο.<br>1.7.11 παυσαμένου δὲ τούτου, βασιλεὺς ὁ πανεύφημος τοὺς περὶ τῆς ὁμονοίας τε καὶ συμφωνίας προσενήνοχε λόγους, τῆς τε τῶν τυράννων ἐκείνων ἀναμιμνήσκων ὠμότητος καὶ τῆς ἐπ’ αὐτοῦ θεόθεν παρασχεθείσης ἐντιμοτάτης εἰρήνης, καὶ ὡς δεινὸν εἴη καὶ ἄγαν δεινόν, τῶν πολεμίων καταλυθέντων καὶ μηδενὸς ἀντιτείνειν τολμῶντος, ἀλλήλους βάλλειν καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε καὶ περὶ θείων διαλεγομένους πραγμάτων καὶ τοῦ παναγίου πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον ἔχοντας.<br>1.7.12 “εὐαγγελικαὶ γάρ,” φησί, “βίβλοι καὶ ἀποστολικαὶ καὶ τῶν παλαιῶν προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς ἃ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν.” | |

## Constantine’s opening address

### Anonymous Church History

2.7.1 “Πολλὰς μὲν πρὸς εὐποιίαν τῷ τῶν ἀνθρώπων γένει ἐπιφανεστάτας ὁδοὺς ἡ τοῦ παντοδυνάμου θεοῦ τρόφιμος δικαιοσύνη ὑπέστρωσεν, οὐχ ἥκιστα δὲ ἐκείνην τὴν ἐπισημοτέραν καὶ μάλιστα ἀστράπτουσαν, ἣν ἐν τῷ κεφαλαίῳ τοῦ ἁγιωτάτου νόμου τῆς καθολικῆς ἐκκλησίας πᾶσιν ἡμῖν παντὸς θαύματος μεῖζον ἤθροισε, τῆς πίστεως τὸ κυριακὸν οἰκητήριον.
2.7.2 τούτου δὲ τὴν μὲν κορυφὴν μέχρι τοῦ φέγγους τῶν ἄστρων ἐληλυθέναι ὁρῶμεν, τοὺς δὲ θεμελίους ἔτι ἀρχομένου τοῦ ἔργου οὕτως βαθέως καὶ πιστῶς ἐρριζῶσθαι θείῳ νεύματι γινώσκομεν, ὡς πᾶσαν τὴν οἰκουμένην αἴσθησιν τούτου λαβεῖν.

2.7.3 ἀπὸ τῆς κορυφῆς τοίνυν τῆς προειρημένης ἁπασῶν τῶν λοιπῶν ὅλων ὑπερκειμένης ἄχρι τοῦ τέλους τῆς ἐξόδου φαίνεται ὁμαλὴ καὶ ἰσόπεδος πορεία τῇ λαμπρότητι τοῦ φωτὸς χρωμένη, ἧς καὶ τὸ μέτωπον ἀστροειδεῖ σφραγῖδι κεκοσμημένον δυοκαίδεκα τὸν ἀριθμὸν κίονες χιόνος λαμπρότεροι, ἀκίνητοι τῇ θέσει τῆς πίστεως ἀϊδίως τῇ τῆς θεότητος τοῦ ἡμετέρου σωτῆρος δυνάμει βαστάζουσι.

2.7.4 τούτου τοίνυν τοῦ τηλικούτου ἔργου ὁ τεχνίτης προσλαμβάνουσιν ἡμῖν καὶ τὴν ἀπὸ ψυχῆς δικαίαν πίστιν τοῦ ἀθανάτου αὐτοῦ νόμου εἰς νοῦν ἔδωκεν ἡμῖν τὴν σεμνότητα· οὗπερ πρὸς τοὺς πυλῶνας οὐδὲν ἕτερον εἰ μὴ ἁγνῆς καὶ εὐσεβοῦς ἐπιθυμίας ἐπειγούσης, μόνῃ καθαρᾶς διανοίας πεποιθήσει πρόσεισιν ὁ βουλόμενος.

2.7.5 τούτῳ δὲ αὐτῷ θαυμαστήν τινα κόσμου λαμπρότητα σωτήριος προσήγαγε λογισμός· λέγω δέ, ἔνδοθεν πίστις ἀνθρώπων διὰ παντὸς τοῦ περιβόλου τοῦ κυριακοῦ ἀνθοῦσι στεφάνοις τετιμημένη ἀθανασίας καρπὸν ἀθροίζουσα ἁγνοὺς τόνους τῆς ζωῆς τῆς ἀνθρωπείας εἰς φανερὸν ἄγουσα ἐπιφανεῖς καθίστησιν. αὖθις ἐντεῦθεν ἡ ἔξωθεν οὐράνιος δόξα ἐστεμμένη τοῦ αἰῶνος ἀεὶ τικτομένου μᾶλλον δὲ φυομένου βραβεῖα ὑπογράφει, καὶ τραφέντα μετὰ τοῦ προσήκοντος ἐπαίνου ἅπασαν τοῦ αὐτοῦ ἔργου τὴν τελεσιουργίαν κοσμεῖ.

2.7.6 ὁ δὲ αὐτὸς οὗτος ὁ κυριακὸς οἶκος ὑπὸ δύο μόνων φυλάκων φρουρεῖται· καὶ φόβος μὲν θεῖος πρόσεισι τῇ ἐνίων ἐννοίᾳ σωφρονιστήριον, πάρεστι δὲ ἀεὶ καὶ τοῖς εὖ φρονοῦσιν ὁ πρὸς τὸ θεῖον ἔπαινος τῆς συνέσεως βραβεῖον· τούτων γὰρ ἑκατέρων ἐπικειμένων τοῖς προθύροις τοῦ ἁγιωτάτου τόπου δικαιοσύνην μὲν αἱ θύραι ἀναπεπταμέναι δέχονται, αὕτη τε εἴσω οἰκισθεῖσα μένει ἀκήρατος, τῇ δὲ ἀδικίᾳ οὐδὲ θέμις ταῖς θύραις προσελθεῖν, ἀλλὰ ἐξόριστος τούτου τοῦ τόπου ἐκκλείεται.

2.7.7 ταῦτά με, ὦ τιμιώτατοι καὶ παντὸς ἐπαίνου ἄξιοι ἀδελφοί, τὰ πράγματα οὕτω σαφῆ εἰς τὴν τοῦ ἀϊδίου καὶ ἀθανάτου φωτὸς λαμπρότητα ἤγαγεν, ἵνα μὴ πόρρω με ἑστῶτα ἀμφίβολός τις ἴσως τῆς ψυχῆς πίστις ἀπεργάσηται τῆς ἀληθείας ἀνάρμοστον.

2.7.8 Ἀλλὰ τί πρῶτον διαβεβαιώσομαι; πότερον τῆς εὐδαιμονίας τὸν τύπον, ἥτις εἴσω τοῦ στήθους τοῦ ἐμοῦ συνειλημμένη λανθάνει, ἢ τὰς θείας εὐεργεσίας τὰς περὶ ἐμὲ ὑπὸ τοῦ παντοδυνάμου θεοῦ, ἐξ ὧν τὸν ἀριθμὸν πολλῶν ἔργων ἱκανὸν γοῦν λέγειν φανείη ἤδη, ὡς τὴν ἐμὴν μετριότητα ὁ αὐτὸς ἡμέτερος θεὸς καὶ πάντων πραγμάτων πατὴρ εἰκότως ἑαυτῷ κατεδουλώσατο.

2.7.9 πιστεύετε, ὦ τιμιώτατοι ἀδελφοί, προσλαμβάνοντες ἀκέραιον πίστιν τοῖς λεγομένοις, εἰ καὶ τὰ μάλιστα ἡ ἐμὴ διάνοια τῶν θείων εὐεργετημάτων κορεσθεῖσα εὐδαιμονεῖν δοκεῖ καὶ ἀπὸ τ<οι>ούτου πράγματος ἐξόχους ἐπαίνους πληρῶσαι δύνασθαι φαίνεται, ὅμως, ὅπερ τῆς ἀληθείας ἡ πίστις ἐναργῶς δείκνυσιν, οὔτε φωνὴ οὔτε γλῶττα τῷ προστάγματι τῆς διανοίας ὑπουργῆσαι ἀρκοῦσι καὶ μάλα εἰκότως.

2.7.10 ἀμέτρου γὰρ ὄντος τοῦ μεγέθους τῶν εὐεργεσιῶν ἡ μὲν διάνοια ὑψηλή τις οὖσα τοὺς ἀνωτέρω τοῦ σώματος τόπους καταλαμβάνει, ἡ δὲ τῆς γλώττης πορεία εἰς στενὸν κομιδῇ τόπον συγκλεισθεῖσα, ἀδόκιμος σχεδὸν <τοῦ> λέγ<ειν> οὖσα, παντάπασι σιωπᾷ. τίς γὰρ ἡμῶν οὕτω προπετὴς λογισμῷ, ἵνα τοιαύτης πεποιθήσεως ἀπορρίψῃ λόγον, δι' οὗ φάναι ἂν τολμήσειε πάνυ εὐκόλως τῷ τὰ πάντα δυναμένῳ θεῷ ἢ καὶ πάντων τῶν καλλίστων δημιουργῷ ἐνδόξους ἐπαίνους καὶ ἐπαξίους ἐντελῶς εἰπεῖν;

2.7.11 ὁπότε εἴ τις μόνην τὴν μεγαλοπρέπειαν τοῦ αὐτὸν τετέχθαι νομοθετήσαντος λογίσαιτο, εἰδὼς ἂν σκοπήσειε μηδὲν δύνασθαι εὑρεθῆναι, ὅπερ ἄξιον θεοῦ λεχθῆναι δυνήσεται.

2.7.12 τί τοίνυν τῆς ἐμῆς μετριότητος τὴν καθοσίωσιν λέγειν ἐχρῆν, εἰ μὴ τοῦτο, ὅπερ ὁ θεῖος λόγος τῆς ἀληθείας δείκνυσιν; οὗ τὸ μέγεθος ἥτις μεγίστη προσκύνησις σκοπησάτω σαφῶς, εἰ καταντῆσαι δυνήσεται ἐν αὐτοῖς τοῖς περὶ αὐτοῦ λεγομένοις καὶ οὐδεμία πλάνη αὐτὸν ὀλισθήσει.

2.7.13 Καὶ εἴθε μοι τῷ ὑμετέρῳ συνδιακόνῳ δαψιλὴς εὐπορία τοῦ λέγειν ἀρκέσειεν, ἵνα ἐκεῖνα ἄξια ὄντα τοῦ κηρύττεσθαι ἐγκωμιάσω, ἅπερ ὁ θεῖος σωτὴρ ὁ ἡμέτερος πάντων τε πραγμάτων φύλαξ τοῖς προοιμίοις τῆς αὐτοῦ παρουσίας, ὁπότε τῆς ἡμετέρας λυσιτελείας ἕνεκα ἁγνοῦ σώματος οἰκητήριον κατηξίωσεν ἐκ παρθένου λαβεῖν, πᾶσιν ἀνθρώποις δίδαγμα τοῦ παρ' αὐτοῦ οἴκτου δηλῶν, γαληνῷ νεύματι τῆς αὐτοῦ θεότητος ἔδειξε.

2.7.14 τίνος ἄρξομαι ἄρα; ἀπὸ τῆς αὐτοῦ διδαχῆς καὶ σεμνότητος; ἀλλὰ ἀπὸ θείων διδασκαλιῶν, ὧν αὐτὸς δι' ἑαυτοῦ μηδενὸς διδάσκοντος μόνος διδάσκαλος πέφηνεν; ἀλλ' ὅπως ἀνέπνευσαν διὰ τῆς αὐτοῦ προνοίας τοσοῦτοι δῆμοι, ὅσους οὐδὲ ἀριθμῷ περιλαβεῖν οἷόν τε, μικρᾷ τινι τροφῇ καὶ ἐλαχίστοις σιτίοις καὶ μόνοις δύο ἰχθύσι τῇ τούτου θείᾳ προνοίᾳ

2.7.15 καὶ Λαζάρου μετὰ τὴν τελευτὴν βραχείᾳ τινὶ ῥάβδῳ ἀνάστασιν πεποίηκε καὶ εἰς τὴν τοῦ φωτὸς λαμπρότητα αὖθις ἀνήγαγε;

2.7.16 πῶς δ' ἂν εἴποιμι τὴν ἁγνὴν αὐτοῦ θεότητα, δι' ἧς γυναῖκά τινα ἀπορρητοτέρως <νοσοῦσαν> θεασάμενος καὶ τῆς ἑαυτοῦ ὁμιλίας μόνης καταξιώσας, ὑγιᾶ τε αὖθις καὶ παντὸς νοσήματος ἐλευθέραν ἔδειξε;

2.7.17 τίς δ' ἂν κατ' ἀξίαν εἴποι αὐτοῦ τὸ ἀθάνατον ἔργον, δι' οὗ τις συνεχεῖ καὶ μακρᾷ νόσου τηκεδόνι ἀναλωθεὶς καὶ τῶν μελῶν αὐτοῦ χυθέντων καὶ διασπασθέντων ὅλων κείμενος ἄφνω θείῳ ἰάματι ῥωσθεὶς αὐτὸ τὸ σκιμπόδιον, ἐφ' ᾧ ἔκειτο, τοῖς ὤμοις ἐπέθηκε καὶ εὐχαριστίας ἐπαίνους διαχέων διά τε τῆς πατρίδος καὶ τῆς ἐνορίας διέδραμεν;

2.7.18 ἀλλὰ τὸ θεῖον αὐτοῦ καὶ σταθηρὸν βάδισμα, ὡς ἐπιβαίνων τὴν ἀγρίαν θάλατταν καταπατήσας ἐπέζευσε καὶ τοῖς θείοις ἴχνεσι τῆς βαθυτάτης θαλάττης τὴν ὑγρότητα ἔπηξε καὶ διὰ μέσου πελάγους οὐδενὶ μέτρῳ βαθύτητος περιοριζομένου ὥσπερ διὰ γῆς τὴν πορείαν ἐποιήσατο;

2.7.19 ἀλλὰ τὴν ἠπίαν αὐτοῦ ἀνεξικακίαν, δι' ἧς νικητὴς ὢν ἐν πᾶσι τῶν ἀνοήτων δήμων τὴν αὐθάδειαν ἐδάμασε καὶ δαμασθεῖσαν πόρρω ἀπ' αὐτῶν διαχωρίζων τὴν ἀγριότητα τῷ νόμῳ ὑπέταξεν;

2.7.20 ἀλλ' ἐκεῖνα τὰ ὑπέρλαμπρα καὶ μέγιστα τῆς αὐτοῦ θεότητος, οἷς ζῶμεν, οἷς εὐδοκοῦμεν οἵτινες τῆς μελλούσης εὐδαιμονίας τὴν ἐλπίδα οὐ μόνον προσδοκῶμεν ἀλλ' ὥσπερ τινὶ τρόπῳ ἤδη κατέχομεν;

2.7.21 τί πλέον τολμῶ λέγειν καὶ μετ’ αὐτῆς τῆς μικρᾶς τοῦ λόγου παρασκευῆς, εἰ μὴ μόνον τοῦτο, ὅπερ τῆς ἐμῆς καθωσιωμένης ψυχῆς συνεῖναι χρή, τὴν καθαρότητα, ὁποῖος τοίνυν ἐστὶν ὁ παντοδύναμος θεός, ὁ τὸν οὐρανὸν οἰκῶν, καὶ περὶ πᾶν τὸ ἀνθρώπινον γένος, μάλιστα δὲ καὶ ἐξαιρέτως περὶ τὴν καλλίστην καὶ παντὸς ἐπαίνου μείζονα δικαιοσύνην, ὁπότε καὶ τοῦ ἰδίου θείου πνεύματος τὸ ἁγιώτατον κατ’ ἀξίαν σῶμα ἐνοικεῖν τε αὐτῷ καὶ οὕτω σωτηριῶδες τοῖς ἀνθρωπίνοις σώμασιν εἶναι κατηξίωσεν.

2.7.22 Ἐπειδὴ οὖν περὶ τῆς οὕτω ἁγιωτάτης καὶ σωτηρίου τῆς πάντα δυναμένης θεοῦ τάξεως ἄμετρος τῶν ἐχθρῶν μανία ὥσπερ ἀχλύϊ τινὶ συγκεχυμένη ἐπολεθρίου σκαιότητος ἑρμηνείαν ποιεῖσθαι οὐκ ἀμφιβάλλει, διὰ βραχέων, εἰς ὅσον ἡ πίστις καὶ ἡ καθοσίωσις τῆς ψυχῆς τῆς ἐμῆς τοῦ λέγειν εὐπορίαν δαψιλεύεται, διηγήσασθαι πειράσομαι.

2.7.23 καὶ γὰρ αἱ τούτων τῶν ἐθνῶν κακόνοιαι τοιοῦτον γένος εἰσάγουσιν ἀναισχυντίας, ὥστε ἀσεβεῖ στόματι μὴ φοβηθῆναι εἰπεῖν τὸν θεὸν τὸν πάντα δυνάμενον πάντα τὰ τῷ θείῳ νόμῳ δηλούμενα μήτε πεποιηκέναι μήτε ποιῆσαι βεβουλῆσθαι.

2.7.24 ὦ τῆς τοιαύτης ἀσεβοῦς φωνῆς τῆς κατ’ ἀξίαν ἅπασαν ὑπερβολὴν τιμωρίας καθ’ ἑαυτῆς ἀπαιτούσης· ὄντως ἐμμανῶς καὶ τολμηρῶς τῆς θείας ταύτης εὐεργεσίας τὴν δόξαν τὴν μηδενὶ τῶν ἀνθρώπων περιληφθῆναι δυναμένην ἀφανῆ καταστῆσαι ἐπιθυμεῖ.

2.7.25 τί γὰρ μᾶλλον ἢ ἀγνότης ἄξιον τοῦ θεοῦ; ἥτις ἐκ τῆς ἁγιωτάτης ὁμιλίας μετὰ τῆς πηγῆς τῆς δικαιοσύνης προελήλυθε καὶ διὰ πάσης τῆς περιόδου τῆς οἰκουμένης ἐπλήμμυρε καὶ τὰς δυνάμεις τῶν ἁγιωτάτων ἀρετῶν τοῖς ἀνθρώποις ἐπέδειξεν, ἅπερ ἑαυτοῖς πρῶτον ἐχθρὰς νομίσαντες <ἔπαθον τὰ> τῶν Ἀσσυρίων· οἷς προηγουμένου τοῦ φαύλου παραδείγματος καὶ τὰ λοιπὰ ἔθνη συνθέσθαι αὐτοῖς ἀνεπείσθη.

2.7.26 ἐν οἷς, ὥσπερ ἡμεῖς ἰδίᾳ θεωρίᾳ δοκιμάζομεν, τὸν τοῦ σωτῆρος ἡμῶν θεοῦ θεῖον ὁρῶμεν συνεργεῖν οἶκτον, ὁπότε καὶ καθ’ ἡμέραν καὶ κατὰ χρόνους πολλοὺς ἐξ αὐτῶν πυρώδους μανίας οἴστρ <ῳ ἐλαυνομένους> ὁ αὐτὸς
εἰς τὴν τοῦ σωτηριώδους ἰάματος ἀνεξικακίαν ἐκέλευσεν ἀνήκειν. καὶ οὐδὲ οὕτως τοῖς λοιποῖς τῆς τοιαύτης εὐεργεσίας τὸ μέγεθος δύναται πρὸς χάριν ἐλθεῖν <διὰ> τὴν παρὰ ἀνθρώπων ἄγνοιαν τὴν θείαν δυναστείαν δύνασθαι πάντα λόγον ὑψῶσαι καὶ εἰς ὕψος ἀρθέντα βεβαιώσασθαι <καὶ> αὖθις καθελεῖν καὶ διαλῦσαι.

2.7.27 ἀλλὰ μᾶλλον τοῖς ἀνθρωπίνοις πράγμασιν ἐναντίως ἂν ἀπέβη, εἰ <μὴ> ὁ θεὸς ὁ τὰ πάντα δυνάμενος σιωπηρῷ τῆς αὐτοῦ θεότητος νεύματι πάντα πράττειν προέθετο. μᾶλλον γὰρ ἂν ἡ τῶν ἀνθρώπων μανία ἐγένετο συχνή, καὶ ἡ ἀνθρωπεία <αὐθάδεια> οὐκ ἔχουσα πέρας πάσας ἂν τὰς ψυχὰς ἐπόρθησεν, οὐδὲ ἂν τὰ ἄλλα πλεῖστα ὄντα, ἅπερ ἐν τῇ τοῦ κόσμου ἀναστροφῇ τὴν ἰδίαν λειτουργεῖ τάξιν, ἀναφανῆναι δεδύνηται·

2.7.28 ἀλλ’ ὁμοῦ πάντα μετὰ τῆς ἀγνοίας τοῦ θείου ταχέως ἂν ἀπωλώλει, τοῦ δὲ φθόνου καὶ τῆς βασκανίας τὸ ἄδικον οὐχ ὡς ἐν ὀλίγοις μεμενήκει. ἀλλ’ οὐδεὶς ἂν ηὑρέθη ταύτης τῆς βασκανίας ἀλλότριος, τῶν θρησκειῶν τὰ γένη παντοίων εἰς τοσοῦτον μεγάλως τε καὶ πλατέως εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων διαχυθέντων, ὡς ἀξίως τῇ τούτων αἰσχρότητι τὸ φῶς ταύτης τῆς ἡμετέρας λαμπρότητος ἐπισκιασθῆναι αὐτοῖς ἀεί τ’ αὐτῆς αὐτοὺς στερίσκεσθαι.

2.7.29 οὐδεὶς οὖν λόγος δυνήσεται τῶν εἰρημένων τὴν ἐμὴν πίστιν ἀπὸ τῆς ἐμῆς ἐξέλκειν ψυχῆς. ἕπεται γὰρ αὐτῇ μηδενὸς φαύλου ἐμποδὼν ὄντος δύναμις τελεία, ὁ ζῶν τῆς ἀληθείας λόγος, εἷς πάντα δυνάμενος, φύλαξ πάντων πραγμάτων, τῆς ἡμετέρας σωτηρίας κηδεμών. οὗτος οὖν δοκεῖ τινι τρόπῳ τοῦ ἁγιωτάτου αὐτοῦ λόγου δαψιλεύεσθαι τὴν ὁμιλίαν τοῦ ἐλευθεροῦντος διαφυλάττειν καὶ τοῦ φωτὸς τὴν λαμπρότητα ἡμῖν παρέχειν.

2.7.30 Τίνος τοίνυν ἕνεκα καὶ νῦν πάντων τῶν ἐθνῶν οἱ δῆμοι τὸ οὐράνιον μὴ καθορῶντες φῶς καὶ τοῦ ἐνδοξοτάτου ὁσίου ὑπερφρονοῦντες, τὸ γήϊνον ἐπιζητοῦσιν οὐδεμίαν ἔχον ὑπόστασιν ἀληθείας οὐδὲ φαιδρότητα ἁγνῆς λαμπρότητος οὐδὲ δυναστείαν τῆς οὐρανίου θεότητος;

2.7.31 ὢ ἀναξίου δράματος· ἔτι καὶ νῦν μηδὲν ἐλλείποντες τῆς ἀσεβείας μηδὲ πρὸς τὸ δέον ἀφορῶντες, ὑπὸ τῆς ἀθλίας πλάνης καταπίπτοντες οὐχ ὁρῶσι· καὶ τοῖς ῥυπαροῖς τούτοις ἔργοις τοῖς τοῦ κόσμου τὴν λαμπρότητα οὐ παύονται μιαίνοντες, δηλαδὴ ξύλον καὶ λίθον καὶ χαλκὸν καὶ ἄργυρον καὶ χρυσὸν καὶ ταύτας τὰς γηΐνας <ὕλας> εἰς τὸ προσκυνεῖν καθιδρύντες καὶ ἀπὸ τούτων ἐλπίδα τῆς ζωῆς ἐπαγγελλόμενοι, ναοὺς αὐτοῖς μετὰ ἐπισήμου κόσμου οἰκοδομοῦντες καὶ ἀπὸ τούτου οὕτως αὔξοντες αὐτῶν τῆς προσκυνήσεως τὰς προσθήκας, ἐπειδήπερ τὸ μέγεθος τῶν οἰκοδομημάτων ὑπ’ αὐτῶν γενομένων ἄξιον τῆς ἑαυτῶν ὄψεως παρέχεται τὸ θαῦμα.

2.7.32 ὁπότε τοίνυν ταῦτα ποιεῖν δοκοῦσι, σαφῶς νοεῖται, εἰ καὶ τὰ μάλιστα αὐτοὶ οὐκ αἰσθάνονται οὐδὲ ὁρῶσιν ὑπερηφάνως, ὅτι τοῖς ἑαυτῶν ἔργοις αὐχεῖν δοκοῦντες ἁλίσκονται. ἡλίκος τοίνυν καὶ πόσος τε ὁ θεός ἐστιν ὁ πάντων δυνάστης οὐχ † ὁρώμενος, τίς καὶ πάντων αὐθέντης ἐστὶ καὶ κριτής, ὅν τινες αὐτῇ τῇ πεποιθήσει τῆς ἰδίας, ὡς νομίζουσιν, ἀρετῆς <ὑβρίζοντες ἑαυτοὺς> λανθάνουσιν.

2.7.33 αὐτοῦ γὰρ τῇ διατυπώσει καὶ τὸ εἶδος τοῦ ἡμετέρου σώματος ἔλαβε τὸν ὀφειλόμενον τύπον, καὶ ἵνα σχῶμεν τῆς ἁρμονίας τὴν ἀκμήν, ὁ αὐτὸς τῶν πάντων μελῶν τὴν συζυγίαν ἰσχυροτάτοις νεύροις συνέδησεν, ἵνα ἐν πάσῃ πράξει τῆς ἡμετέρας σπουδῆς ἀκάματον ἔχοιμεν τὴν ἀκμὴν τῆς οἰκείας ἁρμονίας. τούτων τοίνυν σωτηριώδει διατυπώσει τελεσιουργηθέντων καὶ πνεῦμα ἡμῖν, ἵνα ταῦτα πάντα κινεῖσθαι

δύναιτο καὶ ἀκμάζειν, ἐνέπνευσε καὶ θέαν τοῖς ἡμετέροις ὀφθαλμοῖς συνεχώρησε καὶ πρὸς σύνεσιν τῇ ἡμετέρᾳ κεφαλῇ δέδωκε καὶ εἴσω τῆς χώρας ταύτης πάσης τῆς διανοίας τῆς ἡμετέρας τὸν λογισμὸν συνέκλεισε.
2.7.34 τοιγαροῦν εἴ τις εὖ φρονῶν ταύτης τῆς διατυπώσεως τὸν λογισμὸν σκοπήσειε, τὰ δὲ λοιπὰ παύσειεν, ἃ μήτε λόγῳ μήτε ἀριθμῷ περιληφθῆναι δύναται, ταχείᾳ ἐνθυμήσει καὶ ἰδεῖν καὶ συνιέναι δυνήσεται τὴν αἰώνιον καὶ σωτηριώδη τοῦ ἀθανάτου θεοῦ ἐξουσίαν καὶ οὐ δυνήσεται ἐκεῖνον πλάνης τινὸς χωρὶς ἄνθρωπος ἐνδῆσαι, ὁπότε σαφῶς αὐτῷ ἔξεστι καὶ ἰδεῖν πάντα τὰ γεγονότα εἶναι δυνάμει τοῦ θεοῦ, ὡς αὐτὸς πάντα ταῦτα εἶναι βεβούληται.
2.7.35 Ἵνα δὲ εἴη ἰδεῖν, ὅτι τις ἀθέμιτος κόσμου πολιτεία τὴν τοῦ θεοῦ ἀγνωσίαν τοῖς ἀνθρώποις ἀπειργάσατο, λογισμοῦ ἁμαρτήματος προτέρου τεχθέντος ἐκ πλάνης τοῦ ἐχθροῦ ἐν ταῖς τῶν σκαιῶν ἀνθρώπων ἀθλίαις ψυχαῖς, ἐκ τοῦ θείου νόμου λαβεῖν ἡμᾶς ἔνεστι σαφῆ τὴν περὶ τούτου ἀπόδειξιν.
2.7.36 ἐξ ἐκείνου γὰρ καιροῦ, ἐξ οὗ ὑπὸ τῶν δύο ἐκείνων τῶν ἐν ἀρχῇ κατασταθέντων τὸ θεῖον καὶ ἅγιον πρόσταγμα μετὰ τῆς προσηκούσης ἐπιμελείας οὐκ ἐφυλάχθη, ἐτέχθη μετὰ ταῦτα τῆς προσηγορίας ταύτης τὸ ἄνθος· γέγονε δὲ συνεχὲς καὶ μᾶλλον ἐπηύξησεν, ἐξ οὗ καὶ οἱ προειρημένοι δύο θείῳ νεύματι ἀπεβλήθησαν·
2.7.37 ἕως δὲ τοσούτου ἡ ὕλη αὐτὴ μετὰ τῆς σκαιότητος τῶν ἀνθρώπων προήχθη, ὥστε τῆς τε ἑῴας καὶ τῶν πρὸς δύσιν κρηπίδων κατεψηφίσατο· αὐτή τε ἡ ὑπερβολὴ τῆς ἐναντίας δυνάμεως τὰς διανοίας τῶν ἀνθρώπων κατέλαβε καὶ ἠμαύρωσεν.
2.7.38 ἐν ᾧ μέντοι προστάγματι ἅγιος καὶ ἀθάνατός ἐστι τοῦ τὰ πάντα δυναμένου θεοῦ ὁ ἀκάματος οἶκτος. πάσαις γὰρ ταῖς ἡμέραις καὶ τοῖς χρόνοις τοῖς παρεληλυθόσιν ἀναριθμήτους τῶν δήμων πολυπληθείας ἀπὸ τοῦ βάρους τούτου δι᾽ ἐμοῦ τοῦ αὐτοῦ θεράποντος ὁ θεὸς δεδουλωμένας ἐλευθεροῖ, καὶ εἰς ἐντελῆ αἰωνίου φωτὸς ἐξάξει λαμπρότητα. ἀπὸ τούτων τοιγαροῦν ἐγώ, ἀδελφοὶ ποθεινότατοι, οἰκειοτέρᾳ τινὶ προνοίᾳ καὶ ἐνδόξοις εὐεργεσίαις τοῦ ἀθανάτου καὶ ἡμετέρου θεοῦ τὸ λοιπὸν ἐπισημότερος εἶναι τῇ πρὸς αὐτὸν καθαρωτάτῃ πίστει πέποιθα.
2.7.39 Δεξάσθω τοιγαροῦν με ἡ ἁγνοτάτη σύνοδος τῆς ὑμετέρας ἁγιότητος, καὶ μή μοι τὴν σωφρονεστάτην ἐκκλησίαν καὶ τῆς ἁγνῆς κοινῆς τε πάντων ἡμῶν μητρὸς τὰς θύρας ἀντιτεθῆναι ἀνάσχησθε. εἰ καὶ τὰ μάλιστα καὶ νῦν ὁ λογισμὸς τῆς ἐμῆς ψυχῆς ἐντελῆ τὴν καθαρότητα τῆς καθολικῆς πίστεως ἐπιζητῶν, τοῦτο ἑαυτῷ γενέσθαι οὐκ οἴεται εἶναι ἄξιον, ὅμως προτρέπει καὶ ὑπομιμνήσκει, καὶ τὸ μέτωπον τῆς οἰκείας αἰδοῦς πασῶν τῶν καλλίστων ἀρετῶν ἐξενήνοχε σφραγῖδα, καὶ τῶν πυλών<ων> τῆς ἀθανασίας ἤρξατο ἅπτεσθαι καὶ τούτους κρούειν, ὅπως καὶ ὑμεῖς τῆς ὑμετέρας ἀδελφότητος εὐθὺς συγχωρῆσαι τὴν εὔνοιαν καταξιώσητε εἰς μίαν ὁμόνοιαν καὶ εἰρήνην τῆς καθολικῆς πίστεως βλέψαντες.
2.7.40 τοῦτο γὰρ τῷ θεῷ πρεπῶδες καὶ τῇ τῆς καθολικῆς ἐκκλησίας πίστει ἁρμόδιον καὶ τῷ κοινῷ τῶν πραγμάτων συμφέρον, ἵνα τῆς θεόθεν ἡμῖν παρασχεθείσης ἐντιμοτάτης εἰρήνης ἀξίαν ἀμοιβὴν τῷ ταύτην ἡμῖν χαρισαμένῳ κοινῶς ἅπαντες προσενέγκωμεν.
2.7.41 δεινὸν γὰρ ὡς ἀληθῶς ἂν εἴη καὶ ἄγαν δεινὸν καταλυθέντων τῶν πολεμίων καὶ μηδενὸς ἀντιτείνειν ἔτι τολμῶντος, βάλλειν ἡμᾶς ἀλλήλους καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε [δὲ] καὶ περὶ θείων διαλεγομένους πραγμάτων καὶ τοῦ παναγίου πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον ἔχοντας. εὐαγγελικαὶ γὰρ βίβλοι καὶ ἀποστολικαὶ καὶ τῶν παλαιῶν προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς, ἅπερ χρὴ περὶ τοῦ θείου φρονεῖν, ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν."

| **Theodoret** | **Anonymous Church History** |
|---|---|
| 1.7.13 Ταῦτα καὶ τὰ τούτοις παραπλήσια, οἷα δὴ παῖς φιλοπάτωρ, τοῖς ἱερεῦσιν ὡς πατράσι προσέφερε, τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. τῆς δὲ συνόδου τὸ μὲν πλεῖστον τοῖς λεγομένοις ἐπείθετο καὶ τήν τε πρὸς ἀλλήλους ὁμόνοιαν τήν τε τῶν δογμάτων ὑγείαν ἠσπάζετο· | 2.7.42a Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ὁ πάνσοφος βασιλεύς, οἷα δὴ παῖς φιλοπάτωρ, τοῖς ἱερεῦσιν ὡς πατράσι προσέφερε, τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. |

## Constantine addresses the bishops' grievances against each other

| **Gelasius** | **Rufinus** | **Socrates** | **Sozomen** | **Theodoret** | **Anonymous Church History** |
|---|---|---|---|---|---|
| F12b (p.78) Ἀλλὰ τὸ κατὰ τὴν σύνοδον γεγονὸς θαυμαστὸν παρὰ | 10.2 Sed in eo concilio admirabile factum principis | 1.8.18 Ἐπεὶ δὲ ἡ πρέπουσα τῷ καιρῷ | 1.17.3b Οἷα δὲ φιλεῖ γίνεσθαι, πολλοὶ τῶν | 1.11.4 Οὐ μὴν δὲ οὐδὲ ἐκεῖνο δίκαιον ἡγοῦμαι | 2.8.1 Ἀλλὰ τὸ κατὰ τὴν σύνοδον γεγονὸς θαυμαστὸν παρὰ τοῦ τὰ πάντα νικηφόρου βασιλέως οὐκ ἄξιον |

| | | | | | |
|---|---|---|---|---|---|
| τοῦ τὰ πάντα νικηφόρου βασιλέως οὐκ ἄξιον σιωπῇ παραπέμψασθαι. καὶ γὰρ ἐπισυναχθέντων πάντων τῶν ἐπισκόπων καί, καθὼς ἔθος ἐστί, γενομένων ζητήσεών τε καὶ συγκρίσεων παρά τινων τῶν ἐπισκόπων ἐρεσχελιῶν ἕνεκα ἄλλου πρὸς ἄλλον ἔχοντος, λιβέλλων τε ἐπιδιδομένων ὑπ’ αὐτῶν καὶ ἐγκλημάτων συγκροτουμένων παρὰ τῷ εὐσεβεῖ βασιλεῖ, δεξάμενος τοὺς λιβέλλους σφραγίσας τε τῷ δακτυλίῳ αὐτοῦ ἐκέλευσε φυλάττεσθαι·<br>ἐνορῶν τε τῶν τοιούτων ἐπισκόπων τὴν<br>πρὸς ἀλλήλους ζυγομαχίαν, εἶπεν, ὅτι χρὴ πάντας ὁμοῦ ἐν μιᾷ ἡμέρᾳ συνελθόντας περὶ τούτων διαλαβεῖν. καὶ ἐνστάσης τῆς προθεσμίας εἰς μέσον καθίσας ὁ βασιλεὺς καὶ ἡσυχίας γενομένης τῷ καιρῷ πρεπούσης πάντων τοὺς λιβέλλους προσέταξεν ἐνεχθῆναι· καὶ δὴ δεξάμενος καὶ ἐν τῷ οἰκείῳ κόλπῳ θέμενος μήτε ἐγκύψαι τοῖς ἐμφερομένοις ἐθελήσας, λέγει·<br>“Τοῦ Θεοῦ ὑμᾶς προχειρισαμένου ἱερεῖς τε καὶ ἄρχοντας κρίνειν τε καὶ διακρίνειν τὰ πλήθη καὶ θεοὺς εἶναι ἅτε δὴ ἀνθρώπων ἁπάντων ὑπερέχοντας ὁρισαμένου κατὰ τὸ εἰρημένον· ‘ἐγὼ εἶπα· **θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες** [Ps. 82:1] καὶ τό· **ὁ** | non puto reticendum. etenim cum ex omnibus paene locis episcopi convenissent et, ut fieri solet, diversis ex causis inter se quaedam iurgia detulissent, interpellabatur frequenter a singulis, offerebantur libelli, culpae proferebantur et magis ad haec quam ad id, pro quo ventum fuerat, animos dabant. at ille videns, quod per huiusmodi iurgia causa summi negotii frustraretur, diem certam statuit, qua unusquisque episcoporum, si quid querimoniae habere videretur, deferret. et cum resedisset, suscepit a singulis libellos. quos simul omnes in sinu suo continens nec in eis quid contineretur aperiens ait ad episcopos: “deus vos constituit sacerdotes et potestatem vobis dedit de nobis quoque iudicandi, et ideo nos a vobis recte iudicamur, vos autem non potestis ab hominibus iudicari. propter quod dei solius inter vos expectate iudicium et vestra iurgia, quaecumque sunt, ad illud divinum reserventur examen. vos etenim nobis a deo dati estis | ἡσυχία ἐγένετο, ἤρξατο ὁ βασιλεὺς αὐτόθεν ἐκ τῆς καθέδρας παραινετικοῖς πρὸς αὐτοὺς χρήσασθαι λόγοις, πρὸς συμφωνίαν καὶ ὁμόνοιαν προτρέπων αὐτούς· καὶ τὴν μὲν ἑκάστου ἰδιάζουσαν λύπην πρὸς τὸν πέλας παραχωρεῖν συνεβούλευεν (καὶ γὰρ ἀντεγκαλοῦντες ἦσαν ἀλλήλοις οἱ πλείονες, πολλοί τε ἐξ αὐτῶν βιβλία δεήσεων τῷ βασιλεῖ τῇ προτεραίᾳ ἦσαν ὀρέξαντες).<br>1.8.19 ἐπὶ δὲ τὸ προκείμενον, δι’ ὃ καὶ συνεληλύθεισαν, χωρεῖν παρακαλέσας τὰ βιβλία καυθῆναι ἐκέλευσεν, ἐπειπὼν νόμον κελεύειν Χριστοῦ ἀφιέναι τῷ ἀδελφῷ τὸν ἀφέσεως τυχεῖν ἐπειγόμενον.<br>1.8.20a Τότε οὖν τοὺς περὶ ὁμονοίας καὶ εἰρήνης λόγους εἰς πλάτος διεξελθών, αὖθις περὶ τῶν δογμάτων ἐπιμελέστερον | ἱερέων, ὡς ὑπὲρ ἰδίων πραγμάτων ἀγωνίσασθαι συνελθόντες, καιρὸν ἔχειν ἐνόμισαν τῆς τῶν λυπούντων διορθώσεως· καὶ περὶ ὧν ἕκαστος τὸν ἄλλον ἐμέμφετο, βιβλίον ἐπιδοὺς βασιλεῖ τὰ εἰς αὐτὸν ἡμαρτημένα προσήγγελλεν.<br>1.17.4 ἐπεὶ δὲ ἐφ’ ἑκάστης εὐχερῶς τοῦτο συνέβαινε, προσέταξεν ὁ βασιλεὺς εἰς ῥητὴν ἡμέραν ἕκαστον περὶ ὧν ἐνεκάλει δῆλον ποιεῖν. ἀφικομένης δὲ τῆς προθεσμίας τὰ ἐπιδοθέντα βιβλία δεξάμενος “αὗται μέν,” ἔφη, “αἱ κατηγορίαι καιρὸν οἰκεῖον ἔχουσι τὴν ἡμέραν τῆς μεγάλης κρίσεως, δικαστὴν δὲ τὸν μέλλοντα πᾶσι τότε κρίνειν· ἐμοὶ δὲ οὐ θεμιτὸν ἀνθρώπῳ ὄντι τοιαύτην εἰς ἑαυτὸν ἕλκειν ἀκρόασιν, ἱερέων κατηγορούντων καὶ κατηγορουμένων, οὓς ἥκιστα χρὴ τοιούτους ἑαυτοὺς παρέχειν, ὡς παρ’ ἑτέρου κρίνεσθαι. ἄγε οὖν μιμησάμενοι τὴν θείαν φιλανθρωπίαν ἐν τῇ πρὸς ἀλλήλους συγγνώμῃ ἀπαλειφθέντων τῶν κατηγορουμένων | παραδοῦναι σιγῇ· φιλαπεχθήμονες γὰρ ἄνδρες ἐγράψαντο τῶν ἐπισκόπων τινὰς καὶ τῷ βασιλεῖ τὰς ἐγγράφους κατηγορίας ἐπέδοσαν.<br>1.11.5 ὁ δὲ πρὸ τῆς γεγενημένης ὁμονοίας ταύτας δεξάμενος, εἶτα δεσμὸν ἐπιθεὶς καὶ τῷ δακτυλίῳ σημηνάμενος, φυλαχθῆναι προσέταξεν. ἔπειτα τὴν σύμβασιν ἐργασάμενος, ταύτας κομίσας παρόντων αὐτῶν κατέκαυσεν, ὀμωμοκὼς ἦ μὴν μηδὲν τῶν ἐγγεγραμμένων ἀνεγνωκέναι. οὐ γὰρ ἔφη χρῆναι τῶν ἱερέων τὰ πλημμελήματα δῆλα γίνεσθαι τοῖς πολλοῖς, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες ἀδεῶς ἁμαρτάνωσιν.<br>1.11.6 φασὶ δὲ αὐτὸν καὶ τόδε προσθεῖναι, ὡς εἰ αὐτόπτης ἐπισκόπου γάμον ἀλλότριον διορύττοντος γένοιτο, συγκαλύψαι ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψῃ τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. | σιωπῇ παραπέμψασθαι. καὶ γὰρ ἐπισυναχθέντων πάντων τῶν ἐπισκόπων καί, καθὼς ἔθος ἐστί, γενομένων ζητήσεών τε καὶ συγκρίσεων παρά τινων τῶν ἐπισκόπων ἐρεσχελιῶν ἕνεκα ἄλλου πρὸς ἄλλον ἔχοντος, λιβέλλων τε ἐπιδιδομένων ὑπ’ αὐτῶν καὶ ἐγκλημάτων συγκροτουμένων παρὰ τῷ εὐσεβεῖ βασιλεῖ, δεξάμενος τοὺς λιβέλλους σφραγίσας τε τῷ δακτυλίῳ αὐτοῦ ἐκέλευσε φυλάττεσθαι·<br>2.8.2 ἐνορῶν τε τῶν τοιούτων ἐπισκόπων τὴν πρὸς ἀλλήλους ζυγομαχίαν, εἶπεν, ὅτι χρὴ πάντας ὁμοῦ ἐν μιᾷ ἡμέρᾳ συνελθόντας περὶ τούτων διαλαβεῖν. καὶ ἐνστάσης τῆς προθεσμίας εἰς μέσον καθίσας ὁ βασιλεὺς καὶ ἡσυχίας γενομένης τῷ καιρῷ πρεπούσης πάντων τοὺς λιβέλλους προσέταξεν ἐνεχθῆναι· καὶ δὴ δεξάμενος καὶ ἐν τῷ οἰκείῳ κόλπῳ θέμενος μήτε ἐγκύψαι τοῖς ἐμφερομένοις ἐθελήσας, λέγει·<br>2.8.3 “τοῦ θεοῦ ὑμᾶς προχειρισαμένου ἱερεῖς τε καὶ ἄρχοντας κρίνειν τε καὶ διακρίνειν τὰ πλήθη καὶ θεοὺς εἶναι ἅτε δὴ ἀνθρώπων ἁπάντων ὑπερέχοντας ὁρισαμένου κατὰ τὸ εἰρημένον· ‘ἐγὼ εἶπα· **θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες** [Ps. 82:6] καὶ τό· **ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν** [Ps. 82:1] χρὴ τῶν μὲν κοινῶν ὀλιγωρεῖν πραγμάτων, πᾶσαν δὲ τὴν σπουδὴν περὶ τὰ θεῖα ποιεῖσθαι.”<br>2.8.4 καὶ κελεύσας ἐνεχθῆναι πῦρ, ἐμπρησθῆναι τοὺς λιβέλλους προσέταξεν. ἔσπευδε γὰρ μηδένα τῶν ἔξω ἐπιγνῶναι τῶν τοιούτων ἐπισκόπων τὴν ἀνώμαλον ἐπιχείρησιν· τοσαύτη ἡ τοῦ βασιλέως πρὸς τοὺς ἱερεῖς τοῦ θεοῦ εὐλάβεια, ἣν θαυμάσειαν ἅπαντες οἱ εὖ φρονοῦντες.<br>2.8.5 Κἀκεῖνο δὲ ὁμοιότροπον τούτῳ ὑπ’ αὐτοῦ γεγενημένον οὐ δίκαιον ἡγοῦμαι παραδοῦναι σιγῇ. φιλαπεχθήμονες γὰρ ἄνδρες καὶ φιλολοίδοροι λαϊκοὶ ἐγράψαντο τῶν ἐπισκόπων τινὰς καὶ τῷ βασιλεῖ τὰς |

| | | | | | |
|---|---|---|---|---|---|
| **θεὸς ἔστη ἐν συναγωγῇ θεῶν** [Ps. 82:1] χρὴ τῶν μὲν κοινῶν ὀλιγωρεῖν πραγμάτων, πᾶσαν δὲ τὴν σπουδὴν περὶ τὰ θεῖα ποιεῖσθαι.” καὶ κελεύσας ἐνεχθῆναι πῦρ, ἐμπρησθῆναι τοὺς λιβέλλους προσέταξεν. ἔσπευδε γὰρ μηδένα τῶν ἔξω ἐπιγνῶναι τῶν τοιούτων ἐπισκόπων τὴν ἀνώμαλον ἐπιχείρησιν· τοσαύτη ἡ τοῦ βασιλέως πρὸς τοὺς ἱερεῖς τοῦ θεοῦ εὐλάβεια, ἣν θαυμάσειαν ἅπαντες οἱ εὖ φρονοῦντες. | dii et conveniens non est, ut homo iudicet deos, sed ille solus, de quo scriptum est: **deus stetit in congregatione deorum** [Ps. 82:1], in medio autem deos discernit. et ideo his omissis illa, quae ad fidem dei pertinent, absque ulla animorum contentione discingite.” | ἐπισκέψασθαι τῇ αὐτῶν γνώμῃ ἐπέτρεψεν. | σπεισώμεθα καὶ τὰ περὶ τῆς πίστεως σπουδάσωμεν, οὗ ἕνεκεν δεῦρο συνεληλύθαμεν.”<br>1.17.5 ταῦτα εἰπὼν ὁ βασιλεὺς τὴν ἑκάστου γραφὴν ἀργεῖν καὶ τὰ βιβλία καυθῆναι προσέταξε· καὶ ἡμέραν ὥρισε, καθ’ ἣν ἐχρῆν λῦσαι τὰ ἀμφισβητούμενα. | οὕτω παραινέσας καὶ τοσαύτης ἀξιώσας τοὺς ἱερέας τιμῆς, καταλαβεῖν ἕκαστον τὴν οἰκείαν παρηγγύησε ποίμνην. | ἐγγράφους κατηγορίας ἐπέδοσαν καὶ ταῦτα πρὸ τῆς γεγενημένης ὁμονοίας.<br>2.8.6 ὁ δὲ καὶ ταύτας δεξάμενος, εἶτα δεσμὸν ἐπιθεὶς καὶ τῷ δακτυλίῳ σημηνάμενος, φυλαχθῆναι καὶ ταύτας ἐκέλευσεν. εἶτα τὴν σύμβασιν τῆς ὁμονοίας ἐργασάμενος, ταύτας κομισθῆναι προστάξας, παρόντων ἁπάντων τῶν ἐπισκόπων πυρὶ καὶ ταύτας κατέκαυσεν, ὀμωμοκὼς μηδὲν τῶν ἐγγεγραμμένων ἀνεγνωκέναι.<br>2.8.7 οὐ γὰρ ἔφη χρῆναι· τῶν ἱερέων τὰ πλημμελήματα δῆλα τοῖς πολλοῖς γίνεσθαι, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες ἀδεῶς ἁμαρτάνωσι. φασὶ δὲ αὐτὸν καὶ τοῦτο προσθεῖναι, ὡς εἰ αὐτόπτης ἐπισκόπου ἐγεγόνει γάμον ἀλλότριον διορύττοντος, συγκαλύψαι ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψαι τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. τοσαύτη ἡ τοῦ βασιλέως θεοφιλὴς καὶ ἀξιάγαστος σύνεσις. |

## The bishops debate Arius

| Athanasius, *de Decretis* | Gelasius | Rufinus | Anonymous Church History |
|---|---|---|---|
| 3. Ὡς ἐφιλονείκουν ἀσεβοῦντες καὶ θεομαχεῖν ἐπεχείρουν, τὰ μὲν λεγόμενα παρ’ αὐτῶν ἀσεβείας ἦν μεστά, οἱ δὲ συνελθόντες ἐπίσκοποι, ἦσαν δὲ πλέον ἢ ἔλαττον τριακόσιοι, πράως καὶ φιλανθρώπως ἀπῄτουν αὐτούς, περὶ ὧν ἔλεγον διδόναι λόγον καὶ ἀποδείξεις εὐσεβεῖς. ὡς δὲ καὶ μόνον φθεγγόμενοι κατεγινώσκοντο καὶ πρὸς ἑαυτοὺς διεμάχοντο πολλὴν ὁρῶντες τῆς ἑαυτῶν | F12c (p. 82) Ἐπὶ πολλὰς δὲ ἡμέρας οὐ μὴν δὲ ἀλλὰ καὶ καιροὺς ἐφεξῆς συνερχόμενος τοῖς ἐπισκόποις ὁ βασιλεύς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. ἦσαν γάρ, καθὼς πολλάκις εἰρήκαμεν, ἐν αὐτοῖς τινες τοῖς ἀθεμίτοις Ἀρείου δόγμασι συμφερόμενοι καὶ τῷ πλήθει τῶν ἁγίων ἐπισκόπων, τῶν τῆς ἀληθείας ὑπερμαχούντων, ἀντιπράττοντες. | 10.2d Verum cum per dies multos in episcoporum concilio de fide quaestio verteretur et nonnulli diversa sentirent ac vehementer coeptis Arrii faverent, plures tamen errant, qui impium execrarentur inceptum. cumque in eodem concilio esset confessorum magnus numerus sacerdotum, omnes Arrii novitatibus adversabantur. favebant vero ei viri in questionibus callidi et ob id simplicitati fidei adversi. | 2.7.44 Τούτοις δὲ γενναίως ἀντηγωνίζοντο οἱ ἐν ἁγίοις πατέρες ἡμῶν Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ὢν καὶ Ἀθανάσιος ὁ ἀρχιδιάκονος τῆς Ἀλεξανδρέων ἐκκλησίας· διὸ καὶ φθόνος ὥπλιστο κατ’ αὐτῶν, ὡς ὕστερον λέξομεν. οἱ δὲ ἡμέτεροι ἅγιοι ἐπίσκοποι καλοῦσι τὸν Ἄρειον εἰς τὴν σύνοδον, ἐπιτρέποντες αὐτῷ συστῆναι τοῖς ἰδίοις δόγμασι νεύματι τοῦ τὰ πάντα νικηφόρου βασιλέως· ἐπείπερ, ὡς ἀρτίως εἰρήκαμεν, καὶ αὐτὸς τῇ συνόδῳ συνήδρευεν.<br><br>2.8.8 Ἐπὶ πολλὰς δὲ ἡμέρας οὐ μὴν δὲ ἀλλὰ καὶ καιροὺς ἐφεξῆς συνερχόμενος τοῖς ἐπισκόποις ὁ βασιλεύς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. ἦσαν γάρ, καθὼς πολλάκις εἰρήκαμεν, ἐν αὐτοῖς τινες τοῖς ἀθεμίτοις Ἀρείου δόγμασι συμφερόμενοι καὶ τῷ πλήθει τῶν ἁγίων ἐπισκόπων, τῶν τῆς ἀληθείας ὑπερμαχούντων, ἀντιπράττοντες. ἀλλ’ οἱ ἄριστοι καὶ τὰ πάντα ἱερώτατοι πατέρες ἡμῶν τῷ τῆς ἀληθείας ὅπλῳ ἠσφαλισμένοι τὴν λαμπρὰν |

| | | | |
|---|---|---|---|
| αἱρέσεως τὴν ἀπορίαν, ἀχανεῖς μὲν ἔμενον οὗτοι καὶ διὰ τῆς σιωπῆς ὡμολόγουν τὴν ἐπὶ τῇ κενοδοξίᾳ αὐτῶν αἰσχύνην. οἱ τοίνυν ἐπίσκοποι λοιπὸν ἀνελόντες τὰ παρ’ αὐτῶν ἐπινοηθέντα ῥήματα οὕτως ἐξέθεντο κατ’ αὐτῶν τὴν ὑγιαίνουσαν καὶ ἐκκλησιαστικὴν πίστιν· | ἀλλ’ οἱ ἄριστοι καὶ τὰ πάντα ἱερώτατοι πατέρες ἡμῶν τῷ τῆς ἀληθείας ὅπλῳ ἠσφαλισμένοι τὴν λαμπρὰν καὶ ἀμώμητον πίστιν μετὰ παρρησίας ἐκήρυττον· μεθ’ ὧν ἦν καὶ ὁμολογητῶν πολὺς ἀριθμός, ἀνθισταμένων τοῖς ἐθέλουσι περιποιεῖσθαι τὰ μοχθηρὰ τοῦ Ἀρείου δόγματα. | 10.5b Interea per dies singulos agitabatur conventus, nec facile aut temere de re tanta statuere audebant. evocabatur frequenter Arrius in concilium et adsiduo tractatu adsertiones eius discutiebantur, et quid adversum haec teneri deberet aut statui, summa cum deliberatione quaerebatur. | καὶ ἀμώμητον πίστιν μετὰ παρρησίας ἐκήρυττον· μεθ’ ὧν ἦν καὶ ὁμολογητῶν πολὺς ἀριθμός, ἀνθισταμένων τοῖς ἐθέλουσι περιποιεῖσθαι τὰ μοχθηρὰ τοῦ Ἀρείου δόγματα.<br><br>2.11.9 Ἀνεκίνουν γοῦν ὁσημέραι οἱ ἡμέτεροι ἅγιοι ἐπίσκοποι ἐπὶ πλεῖστον ὅσον χρόνον πάμπολλα περὶ τῆς πίστεως, οἰόμενοι δεῖν μηδὲν εὐχερὲς ἢ τολμηρὸν περὶ τηλικαύτης ζητήσεως διαπράττεσθαι,<br>2.11.10 Συχνῶς τε τὸν Ἄρειον μετεπέμποντο καὶ πυκνῇ ἀνακρίσει τὰς προτάσεις αὐτοῦ ἀναπτύσσοντες διέλυον· πλείστη τε ὅση σπουδὴ καὶ φροντὶς ἦν αὐτοῖς, πῶς ἐχρῆν πρὸς τὴν ἀνατροπὴν τῶν ἀθέσμων αὐτοῦ δογμάτων ψηφίσασθαι καὶ ἀνθορίσασθαι. |

| **Jerome** | **Theodoret** | **Anonymous Church History** |
|---|---|---|
| 19 O. Nam cum in synodo Nicaena, quae propter Arianam perfidiam congregata est, octo episcopos Arianos susceptos sciamus; et episcopus iam in mundo nullus sit, nisi quos synodus illa odinavit: quomodo potuerunt adversum eam facere, propter quam exsilium sustinuerunt?<br>20 L. An tandem et tunc recepti sunt Ariani? Quinam, quaeso?<br>O. Eusebius episcopus Nicomediensis, Theognius episcopus Nicaenus. Saras tunc presbyter Libyae. Eusebius episcopus Caesareae Palestinae, et reliqui, quos enumerare longum est. Ipse quoque caput horum et causa malorum, Arius presbyter, et Euzoius diaconus, qui post Eudoxium Antiochenus episcopus fuit; et Achillas lector. Hi quippe tres Alexandrinae Ecclesia clerici, auctores huius haereseos exstiterunt.<br>L. Si quispiam eos neget fuisse susceptos, quomodo revincetur?<br>O. Supersunt adhuc homines qui illi synodo interfuerunt. Et si hoc parum est, quia propter temporis antiquitatem rari admodum sunt, et in omni loco testes adesse non possunt, legamus acta et nomina episcoporum synodi Nicaenae; et hos quos supra diximus fuisse susceptos, subscripsisse *homusion*, inter caeteros reperiemus. | 1.7.14 Ὀλίγοι δέ τινες, ὧν καὶ πρόσθεν ἐμνήσθην, καὶ πρὸς ἐκείνοις Μηνόφαντος ὁ Ἐφέσιος καὶ ὁ Σκυθοπολίτης Πατρό φιλος Θεογόνιός τε Νικαίας αὐτῆς ἐπίσκοπος ὢν καὶ ὁ Νερωνιάδος Νάρκισσος (Κιλικίας δὲ τῆς δευτέρας ἡ Νερωνιάς ἐστι πόλις ἣν νῦν Εἰρηνούπολιν ὀνομάζομεν), καὶ μετὰ τούτων Θεωνᾶς ὁ Μαρμαρικῆς καὶ ὁ Πτολεμαΐδος τῆς Αἰγυπτίας Σεκοῦνδος τοῖς ἀποστολικοῖς ἀντέλεγον δόγμασιν, Ἀρείῳ συνηγοροῦντες.<br>1.7.15a ὑπαγορεύσαντες δὲ καὶ πίστεως διδασκαλίαν ἐπέδοσαν τῷ κοινῷ· ἣν ἀναγνωσθεῖσαν εὐθέως διέρρηξαν ἅπαντες, νόθον καὶ κίβδηλον ὀνομάσαντες. | 2.7.43 Οἱ δὲ λοιποί, καθὼς καὶ πάλαι εἰρήκαμεν, τοῖς ἀποστολικοῖς ἀντεμάχοντο δόγμασιν, οἵτινες τὴν τοῦ Ἀρείου δόξαν μεγαλοφυῶς συγκροτεῖν ἐσπούδαζον, δέκα καὶ ἑπτὰ τὸν ἀριθμὸν ὄντες, Εὐσέβιός τε ὁ Νικομηδεύς, ὡς καὶ πρότερον εἴρηται, Θέογνις ὁ τῆς Νικαίας, Μάρης Χαλκηδόνος, Θεόδωρος Ἡρακλείας Θρᾴκης, Μηνόφαντος Ἐφέσου, Πατρόφιλος Σκυθοπόλεως, Νάρκισσος Νερωνιάδος Κιλικίας δευτέρας, ἣν νῦν Εἰρηνούπολιν ὀνομάζομεν, Θεωνᾶς ὁ Μαρμαρίτης, Σεκοῦνδος Πτολεμαΐδος Αἰγύπτου καὶ σὺν αὐτοῖς ἕτεροι ὀκτὼ οἵτινες ἑαυτοὺς τῷ τῶν τριακοσίων ἁγίων χορῷ ἐπιμίξαντες ὡς δῆθεν ὀρθόδοξοι τοῖς ἀποστολικοῖς ἀντέπραττον δόγμασιν Ἀρείῳ συνηγοροῦντες· |

| **The praiseworthy conduct of Constantine during the debate** | | | | |
|---|---|---|---|---|
| **Eusebius** | **Socrates** | **Sozomen** | **Theodoret** | **Anonymous Church History** |
| 3.13 Ὁ μὲν δὴ ταῦτ' εἰπὼν Ῥωμαίᾳ γλώττῃ, ὑφερμηνεύοντος ἑτέρου, παρεδίδου τὸν λόγον τοῖς τῆς συνόδου προέδροις. ἐντεῦθεν δ' οἱ μὲν ἀρξάμενοι κατῃτιῶντο τοὺς πέλας, οἱ δ' ἀπελογοῦντό τε καὶ ἀντεμέμφοντο. πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος προτεινομένων πολλῆς τ' ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο βασιλεὺς τῶν πάντων σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο, ἐν μέρει τ' ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ἠρέμα συνήγαγε τοὺς φιλονείκως ἐνισταμένους πράως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας ἑλληνίζων τε τῇ φωνῇ, ὅτι μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ, τοὺς δ' εὖ λέγοντας ἐπαινῶν, πάντας τ' εἰς ὁμόνοιαν ἐλαύνων, εἰσόθ' ὁμογνώμονας καὶ ὁμοδόξους αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασι κατεστήσατο,<br>3.14 ὡς ὁμόφωνον μὲν κρατῆσαι τὴν πίστιν, τῆς σωτηρίου δ' ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν. ἐκυροῦτο δ' ἤδη καὶ ἐν γραφῇ δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα. ὧν δὴ πραχθέντων, δευτέραν ταύτην νίκην ἄρασθαι εἰπὼν βασιλεὺς κατὰ τοῦ τῆς ἐκκλησίας ἐχθροῦ ἐπινίκιον ἑορτὴν τῷ θεῷ συνετέλει. | 1.8.20b Οἷα δὲ καὶ περὶ τούτων ἐν τῷ αὐτῷ τρίτῳ βιβλίῳ τῶν εἰς τὸν βίον Κωνσταντίνου ὁ αὐτός φησιν Εὐσέβιος, ἐπακοῦσαι καλόν· ἔστι δὲ ταῦτα·<br>1.8.21 Πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος προτεινομένων, πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο ὁ βασιλεὺς τῶν πάντων, σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο.<br>1.8.22 Ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων ἠρέμα συνῆγεν τοὺς φιλονείκως ἐνισταμένους, πραέως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας, ἑλληνίζων τε τῇ φωνῇ, ὅτι μηδὲ ταύτης ἀμαθῶς εἶχεν, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ, τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν. | 1.20.1a Ἐκ τούτου δὲ ἡ περὶ τοῦ δόγματος διάλεξις ἐκινήθη τοῖς ἱερεῦσι. σχολῇ δὲ καὶ μάλα ἀνεξικάκως ἠκροᾶτο ὁ βασιλεὺς τῶν ἑκατέρωθεν λόγων· καὶ τοῖς μὲν εὖ λέγουσιν ἐτίθετο, τοὺς δὲ φιλονικοῦντας μετετίθει τῆς ἔριδος, πράως ἑκάστῳ διαλεγόμενος, ὡς ἀκούειν ἠπίστατο, καθότι οὐδὲ τῆς Ἑλλήνων γλώττης ἀπείρως εἶχε. | 1.13.1b Ὅτι δὲ καὶ ἅπαντες οἱ τηνικαῦτα συναθροισθέντες συμφώνως τὴν ἐκτεθεῖσαν κατεδέξαντο πίστιν, κἀνταῦθα ἔφη καὶ πάλιν ἐν ἑτέρῳ συγγράμματι μαρτυρεῖ, τοῦ μεγάλου Κωνσταντίνου τὴν πολιτείαν εὐφημίαις γεραίρων. Λέγει δὲ οὕτως·<br>1.13.2 "Ὁ μὲν δὴ ταῦτ' εἰπὼν Ῥωμαίᾳ γλώττῃ, ὑφερμηνεύοντος ἑτέρου, παρεδίδου τὸν λόγον τοῖς τῆς συνόδου προέδροις. ἐντεῦθεν δ' οἱ μὲν ἀρξάμενοι κατῃτιῶντο τοὺς πέλας, οἱ δ' ἀπελογοῦντό τε καὶ ἀντεμέμφοντο. πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος προτεινομένων πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο ὁ βασιλεὺς τῶν πάντων σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο, ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκάστου τάγματος λεγομένων, ἠρέμα συνῆγε τοὺς φιλονείκως ἐνισταμένους, πράως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας ἑλληνίζων τε τῇ φωνῇ, ὅτι μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ, τοὺς δ' εὖ λέγοντας ἐπαινῶν, πάντας δὲ εἰς ὁμόνοιαν ἐλαύνων, ἕως ὅτε ὁμογνώμονας καὶ ὁμοδόξους αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασι κατεστήσατο, ὡς ὁμόφωνον μὲν κρατῆσαι τὴν πίστιν, τῆς δὲ σωτηρίου ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν. ἐκυροῦτο δὲ ἤδη καὶ ἐν γραφῇ δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα." | 2.29.4 Οὐκ ἄτοπον δὲ ἡγοῦμαι καὶ τὰ Εὐσεβίου τοῦ Παμφίλου, ἅπερ περὶ τούτων (τῶν ἐν τῇ συνόδῳ πραγματευθέντων λέγω) ποιεῖσθαι τὸν λόγον ἀρχόμενος καλῶς διελάβετο ἐν τῷ τρίτῳ αὐτοῦ βιβλίῳ τῷ εἰς τὸν βίον Κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως, ἐντάξαι τῇδε τῇ συγγραφῇ.<br>2.29.5 ἔστι δὲ ταῦτα· πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος προτεινομένων πολλῆς τε ἀμφιβολίας τὰ πρῶτα παρά τινων γινομένης, ἐπηκροᾶτο πάντων ὁ βασιλεὺς ὁ πανεύφημος σχολῇ τε εὐτονωτάτῃ τὰς προτάσεις θατέρων τῶν μερῶν ὑπεδέχετο·<br>2.29.6 ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων ἠρέμα τε συνῆγε τοὺς φιλονείκως ἐνισταμένους πράως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας ἑλληνίζων τε τῇ φωνῇ, ἐπειδὴ μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς,<br>2.29.7 τοὺς μὲν συμπείθων τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν πάντας τε εἰς ὁμόνοιαν ἐλαύνων ἕως ὅτε ὁμογνώμονας καὶ ὁμοδόξους ἐπ' αὐτῷ κατεστήσατο ὡς ὁμοφώνως μὲν κρατῆσαι τὴν εὐσεβῆ δοξολογίαν κρατυνθῆναί τε τὴν ἀληθῶς ἐκ πνεύματος ἁγίου παρὰ πάντων τῶν προρρηθέντων ἁγίων ἡμῶν πατέρων ἐκφωνηθεῖσαν σωτήριον πίστιν. |

*Created by AGC, edited by AGC and RR.*